31/07/2019

Ευαγγέλιο 31ης Ιουλίου – Η θεραπεία των ασθενών

/ Ορθόδοξες Προβολές

Κατά Ματθαίο Άγιο Ευαγγέλιο, Κεφάλαιο ΙΔ'(14) 35-36

Κατά Ματθαίο Άγιο Ευαγγέλιο, Κεφάλαιο ΙΕ'(15) 1-11
Τότε προσέρχονται τῷ ᾽Ιησοῦ οἱ ἀπὸ ῾Ιεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι λέγοντες·
διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν.
ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν;
ὁ γὰρ Θεὸς ἐνετείλατο λέγων· τίμα τὸν πατέρα καὶ τὴν μητέρα· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω.
ὑμεῖς δὲ λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ·
καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.
ὑποκριταί! καλῶς προεφήτευσε περὶ ὑμῶν ῾Ησαΐας λέγων·
ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία

αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ·
μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.
Καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε·
οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον.

Νεοελληνική Απόδοση
Η παράδοση των πρεσβυτέρων
Τότε πλησιάζουν στον Ιησού Φαρισαίοι και γραμματείς από τα Ιεροσόλυμα, λέγοντας:
«Γιατί οι μαθητές σου παραβαίνουν την παράδοση των πρεσβυτέρων; Επειδή δε νίβουν τα χέρια τους όταν τρώνε άρτο».
Εκείνος αποκρίθηκε και τους είπε: «Γιατί κι εσείς παραβαίνετε την εντολή του Θεού για τη δική σας παράδοση;
Γιατί ο Θεός είπε: Τίμα τον πατέρα σου και τη μητέρα σου, και: Όποιος κακολογεί πατέρα ή μητέρα οπωσδήποτε να θανατώνεται.
Εσείς όμως λέτε: Όποιος πει στον πατέρα του ή στη μητέρα του: Δίνω δώρο στο ναό ό,τι είχες να ωφεληθείς από εμένα,
μπορεί να μην τιμήσει τον πατέρα του. Και έτσι ακυρώσατε το λόγο του Θεού για τη δική σας παράδοση.
Υποκριτές, καλά προφήτεψε για σας ο Ησαΐας όταν έλεγε:
Ο λαός αυτός με τα χείλη με τιμά, αλλά η καρδιά τους μακριά απέχει από μένα.
Και μάταια με σέβονται, διδάσκοντας διδασκαλίες, που είναι εντολές ανθρώπων».
Και αφού προσκάλεσε το πλήθος, τους είπε: «Ακούτε και να καταλαβαίνετε:
αυτό που εισέρχεται στο στόμα δεν κάνει ακάθαρτο τον άνθρωπο, αλλά αυτό που βγαίνει από το στόμα, τούτο κάνει ακάθαρτο τον άνθρωπο».